# Oratio ante lectionem

## ΕΥΧΗ ΙΩΑΝΝΟΥ ΤΟΥΧΡΥΣΟΣΤΟΜΟΥ Ἐν τῷ μέλλειν ἀναγινώσκειν, ἢ ἀναγινώσκοντος ἑτέρου ἀκροᾶσθαι.

63.923

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, τοῦ ἀκούειν με τοὺς λόγους σου, καὶ συνιέναι καὶ ποιεῖν τὸ θέλημά σου, Κύριε, ὅτι Πἄροικος ἐγώ εἰμι ἐν τῇ γῇ. Μὴ 63.924 ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου, ἀλλ' ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. Ἐπὶ σοὶ γὰρ ἐλπίζω, ὁ Θεός μου, ἵνα σύ μου φωτίσῃς τὴν καρδίαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.